καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν — Ant. 2
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
ὑπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·

Ep. 2

αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς
ἔργον
κινδύνῳ κεκαλυμμένον· ἦυ δ᾽ ἔχον-
τες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.

Str. 3

Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
τιμῶν τ᾽ Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖόν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,

Ant. 3

αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς
δαιδάλλειν, σέ τ᾽, Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,

Ep. 3

υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ᾽ εἴ τις ὄλβον
ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν
προστιθείς, μὴ ματεύσῃ θεὸς γενέσθαι.

## VI

## ΑΓΗΣΙΑΙ ΣΥΡΑΚΟΥΣΙΩΙ ΑΠΗΝΗΙ

Daktyloepitriten

Str.

1 – – ∪ – × – ∪ –
– – ∪ ∪ – ∪ ∪ –
2 – ∪ ∪ – ∪ ∪ – – – ∪ ∪ –
3 – ∪ ∪ – ∪ ∪ – – – ∪ – –

Ep.

1 – ∪ ∪ – ∪ ∪ – –
– ∪ – – – ∪ ∪ – ∪ ∪ –
2 – ∪ – × – ∪ – – – ∪ ∪ –
∪ ∪ – ∪ ∪ – – – ∪ ∪ –